(*mostrando lo que le había ocurrido*). Y bien, ¿es ésta una escítala espartana? Pero ya lo sé todo. Dime la verdad. ¿Cómo están los sucesos en Esparta?

HERALDO

Toda Esparta la trae parada y también nuestros alia- 995

ἅπαντες ἑστὼκαντι· ⟨τὰν⟩ πελλὰν δὲ δεῖ.

ΠΡΥ. Ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐνέπεσεν;
Ἀπὸ Πανός;

ΚΗ. Οὔκ, ἀλλ' ἄρχε μέν, οἴῳ, Λαμπιτώ,
ἔπειτα τἄλλαι ταὶ κατὰ Σπάρταν ἁμᾶ
γυναῖκες ἅπερ ἀπὸ μιᾶς ὑσπλαγίδος
ἀπήλαάν τὼς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.

ΠΡΥ. Πῶς οὖν ἔχετε;

ΚΗ. Μογίομες· ἂν γὰρ τὰν πόλιν
ἅπερ λυχνοφορίοντες ὑποκεκύφαμες.
Ταὶ γὰρ γυναῖκες οὐδὲ τῷ μύρτῳ σιγῆν
ἐῶντι, πρὶν χ' ἅπαντες ἐξ ἑνὸς λόγω
σπονδὰς ποιησώμεσθα καττὰν Ἑλλάδα.

ΠΡΥ. Τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται
ὑπὸ τῶν γυναικῶν· ἄρτι νυνὶ μανθάνω.
Ἀλλ' ὡς τάχιστα φράζε περὶ διαλλαγῶν
πρέσβεις ἀποπέμπειν αὐτοκράτορας ἐνθαδί.
Ἐγὼ δ' ἑτέρους ἐνθένδε τῇ βουλῇ φράσω
πρέσβεις ἑλέσθαι τὸ πέος ἐπιδείξας τοδί.

ΚΗ. Ποτάδμαι· κράτιστα γὰρ παντᾷ λέγεις.

Χ.ΓΕ. Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὲς οὐδεμία πόρδαλις.

996 ⟨τὰν⟩ πελλὰν Coulon ol. Pac. 870 : πελλάνας RΓ Πελλάνας Σ^{R} ‖ 997 ἐν- Γ : om. R ‖ 998 ἄρχε μὲν Hermann : ἀρχὰ μεν RΓS ‖ 999 ἔπειτα R : ἔπειτ' Γ ‖ τἄλλαι Elmsley : δ' ἄλλαι R ἄλλαι Γ ‖ κατὰ R : κατὰ τὰν Γ ‖ ἁμᾶ Bergk : ἅμα RΓ ‖ 1000 ὑσπλαγίδος Γ : ὑσπλάτιδος RS ‖ 1001 ἀπήλαὰν Giese ; cf. Σ^{R} : ἀπήλασον RS ὀπήλων Γ ‖ ὑσσάκων $R\Sigma^{R3}$: αὐσσάκων Γ ‖ 1003 ὑπο- Hamaker : ἀπο- RΓS ‖ 1004 οὐδὲ RS : οὔτε Γ ‖ σιγῆν Dindorf : θιγῆν R θίγειν S σίγειν Γ ‖ 1005 χ' Elmsley : om. R γ' Γ ‖ 1006 ποιησώμεσθα Blaydes : ποιησόμεσθα RΓ ποιησόμεθα S ποιησώμεσθα B ‖ καττὰν van Leeuwen : ποτὰν RΓS ‖ 1009 περὶ R · περὶ τῶν Γ ‖ 1010 πρέσβεις ἀποπέμπειν αὐτοκράτορας Bachmann : αὐτοκράτορας πρέσβεις ἀποπέμπειν (πέμπειν R) RΓ ‖ 1013 Κῆρ. Γ : Χορ. γυν. R ‖ ποτάομαι (-ὁ- van Herwerden) Γ : πωτάομαι R ‖ παντᾷ Bentley : πάντα RΓ ‖ 1015 πόρδαλις $R^{3}\Gamma$ S^{MG} (οὐδέν ἐστι) : πάρδαλις $R^{2}\Gamma$ $S^{rel.}$ (οὐδέν ἐστι) : πάρδαλις $R^{2}\Gamma$ S^{MG} (οὐδέν ἐστι).

dos. Necesitamos los vasos para ordeñar.

PRITÁNEO

¿Y de dónde ha venido este mal? ¿Es tal vez Pan?

HERALDO

No. La jefa de esto creo que fue Lampito, después las otras mujeres de Esparta, todas a la vez, como saliendo de la misma línea, han alejado a sus maridos de sus partes sexuales.[213]

PRITÁNEO

¿Cómo están ustedes?

HERALDO

Sufrimos. Marchamos por la ciudad como si lleváramos linternas, todos encorvados. Las mujeres no quieren ni que les toquemos el mirto[214] hasta que todos, de común acuerdo hagamos la paz en la Hélade.

PRITÁNEO

Lo comprendo ahora que es una conspiración general de las mujeres. Vamos, ve a pedir que nos envíen aquí embajadores plenipotenciarios para tratar la paz. Yo voy a decirle al Senado que envíe otros, después de haberles mostrado la verga[215] que ves aquí.

HERALDO

Vuela, porque tienes la razón en todo (*salen en distintas direcciones*).

CORO DE ANCIANOS

No hay bestia más indomable que la mujer, ni siquiera el fuego, ni es tan desvergonzada ninguna pantera.[216]

Χ.ΓΥ. Ταῦτα μέντοι (σὺ) ξυνιεὶς εἶτα πολεμεῖς ἐμοί,
ἐξόν, ὦ πόνηρέ, σοι βέβαιον ἔμ' ἔχειν φίλην;

Χ.ΓΕ. Ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.

Χ.ΓΥ. Ἀλλ' ὅταν βούλῃ σύ. Νῦν δ' οὖν οὗ σε περιόψομαι
γυμνὸν ὄνθ' οὕτως. Ὅρα γὰρ ὡς καταγέλαστος εἶ.
Ἀλλά τὴν ἐξωμίδ' ἐνδύσω σε προσιοῦσ' ἐγώ.

Χ.ΓΕ. Τοῦτο μέν μά τὸν Δί' οὐ πονηρὸν ἐποήσατε·
ἀλλ' ὑπ' ὀργῆς γὰρ πονηρᾶς καὶ τότ' ἀπέδυν ἐγώ.

Χ.ΓΥ. Πρῶτα μέν φαίνει γ' ἀνήρ, εἶτ' οὐ καταγέλαστος εἶ.
Κεἴ με μὴ 'λύπεις, ἐγώ σου κἂν τόδε τὸ θηρίον
τοὔπτι τἀφθαλμῷ λαβοῦσ' ἐξεῖλον ἄν, ὃ νῦν ἔνι.

Χ.ΓΕ. Τοῦτ' ἄρ' ἦν με τοὐπιτρῖβον. Δακτύλιος οὗτοσί·
ἐκσκάλευσον αὐτό, κἄτα δεῖξον ἀφελοῦσά μοι·
ὡς τὸν ὀφθαλμόν γέ μου νὴ τὸν Δία πάλαι δάκνει.

Χ.ΓΥ. Ἀλλὰ δράσω ταῦτα· καίτοι δύσκολος ἔφυς ἀνήρ.
Ἦ μέγ', ὦ Ζεῦ, χρῆμ' ἰδεῖν τῆς ἐμπίδος ἔνεστί σοι.
Οὐχ ὁρᾷς; Οὐκ ἐμπὶς ἔστιν ἥδε Τρικορυσία;

Χ.ΓΕ. Νὴ Δί' ὄνησάς γέ μ', ὡς πάλαι γέ μ' ἐφρεωρύχει,
ὥστ' ἐπειδὴ 'ξῃρέθη, ῥεῖ μου τὸ δάκρυον πολύ.

Χ.ΓΥ. Ἀλλ' ἀποψήσω σ' ἐγώ, καίτοι πάνυ πονηρὸς εἶ,
καὶ φιλήσω.

Χ.ΓΕ. Μὴ φιλήσῃς.

Χ.ΓΥ. Ἦν τε βούλῃ γ' ἦν τε μή.

Χ.ΓΕ. Ἀλλά μή ὅρας ἵκοισθ'· ὡς ἐστὲ θωπικαὶ φύσει,

1016 (σὺ) Bentley : om. RΓ ‖ ξυνιεὶς Reiske : ξυνιεῖς RΓ συνιεὶς (ιεὶς in ras.) B ‖ ἐμοί Hermann : εἰπέ μοι RΓ ‖ 1017 σοι (σοὶ B) Fl. Chrestien : σὺ RΓ ‖ βέβαιον Hermann : βεβαίαν (-αΐάν R) RΓ ‖ ἔμ' Brubachiana (ed. Francof. 1544) : μ' RΓ ‖ ἔχειν Γ : ἔχωνR ‖ 1019 οὖν Γ : om. R ‖ 1020 ὅρα Dobree : ὁρῶ RΓ ‖ 1023 τότ' R : τόδ' Γ ‖ 1025 κεἴ Dobree : κἂν RΓ ‖ με μὴ 'λύπεις Fl. Chrestien : μή με λυπῇς RΓ ‖ ἐγώ σου κἂν Γ : ἐγὼ σοῦ γ' ἂν R ‖ 1027 δακτύλιος Γ : ὁ δακτύλιος R ‖ 1028 ἐκσκάλευσον Γ : ἐκσάλευσον RS ‖ 1030 δύσκολος Fl. Chrestien : δύσκολος γ' RΓ ‖ 1035 — finem desunt in Γ ‖ 1035 καίτοι Fl. Chrestien : καίτοι γε RB.

LA CORIFEO

Tú lo sabes y sin embargo me has hecho la guerra, insensato, ahora que podrías tener en mí una segura amiga.[217]

EL CORIFEO

Pues yo no dejaré de odiar jamás a las mujeres.

LA CORIFEO

Como lo desees, pero por ahora no quiero dejarte así desnudo. Mírate cómo estás ridículo. Vamos, me voy a acercar a ti para ponerte esta túnica (*se la pone y así las demás mujeres*).

EL CORIFEO

Esta, por Zeus, no es una mala acción. Me la quité antes en un arrebato de cólera.

LA CORIFEO

Para empezar, ahora sí pareces hombre y además no te ves ridículo. Y si no me hubieras tratado mal, te habría sacado del ojo esa bestezuela que ahí tienes.

EL CORIFEO

Era esto lo que me hacía sufrir. Toma mi anillo, sácame el insecto y enséñamelo cuando me lo hayas sacado; pues, por Zeus, hace tiempo que me pica el ojo.

LA CORIFEO

Así lo haré, pese a tu mal carácter... ¡Oh Zeus, qué grande es el mosco que tienes ahí ¿No lo ves? ¿No es un mosco de Tricorito?[218]

EL CORIFEO

Por Zeus, me has hecho un favor; hacía tiempo que me estaba cavando un pozo; ahora que me lo has quitado me fluyen las lágrimas en abundancia.

LA CORIFEO

Te las enjugaré, aunque seas tan malvado y te daré un beso.

EL CORIFEO

No me beses.

LA CORIFEO

Lo quieras o no.

κἄστ' ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον,
οὔτε σὺν πανωλέθροισιν οὔτ' ἄνευ πανωλέθρων.
Ἀλλὰ νυνὶ σπένδομαί σοι, καὶ τὸ λοιπὸν οὐκέτι
οὔτε δράσω φλαῦρον οὐδὲν οὐθ' ὑφ' ὑμῶν πείσομαι.
Ἀλλὰ κοινῇ συσταλέντες τοῦ μέλους ἀρξώμεθα.

ΧΟ. Οὐ παρασκευαζόμεσθα Str. 1.
τῶν πολιτῶν οὐδέν', ὦνδρες,
φλαῦρον εἰπεῖν οὐδὲ ἕν,
ἀλλὰ πολὺ τοὐμπαλιν πάντ' ἀγαθὰ καὶ λέγειν καὶ
δρᾶν· ἱκανὰ γὰρ τὰ κακὰ καὶ τὰ παρακείμενα.
Ἀλλ' ἐπαγγελλέτω πᾶς ἀνὴρ καὶ γυνή,
εἴ τις ἀργυρίδιον δεῖ-
ται λαβεῖν, μνᾶς ἢ δύ' ἢ τρεῖς·
ὡς ἔσω 'στὶν
κἄχομεν βαλλάντια.
Κἄν ποτ' εἰρήνη φανῇ,
ὅστις ἂν νυνὶ δανείση-
ται παρ' ἡμῶν,
ἣν λάβῃ μηκέτ' ἀποδῷ.
Ἑστιᾶν δὲ μέλλομεν ξέ- Str. 2.
νους τινὰς Καρυστίους, ἄν-
δρας καλούς τε κἀγαθούς.
Κἄστιν ἔτνος τι· καὶ δελφάκιον ἦν τί μοι, καὶ
τοῦτο τέθυχ', ὥστε γεύσεσθ' ἁπαλὰ καὶ καλά.
Ἥκετ' οὖν εἰς ἐμοῦ τήμερον· πρῳὶ δὲ χρὴ
τοῦτο δρᾶν λελουμένους αὐ-
τούς τε καὶ τὰ παιδί', εἶτ' εἴ-
σω βαδίζειν,

1039 οὔτ' B : οὐδ' RS ‖ 1040 ἀλλά R : Χορ. γυν. ἀλλὰ B ‖ 1042 οὐθ' B : οὐδ' R ‖ 1043 Χορ. Enger; cf. Argum. I : Χορ. γυν. RB ‖ 1052 ἔσω (intus) Σ^R; cf. 174 : πόλλ' ἔσω RB ‖ 1057 ἣν Willems : ἂν RB ‖ ἀποδῷ $B\Sigma^R$: ἀποδιδῷ R ‖ 1062 ὥστε R : ὡς B ‖ γεύσεσθ' Palmer : τὰ χρέα ἕξεσθ' (γενέσθ' R mg.) R τὰ χρέα ἕξεσθ' B ‖ 1067 εἴσω B : ἴσω R.

El corifeo

¡Váyanse a la desgracia, aduladoras como son ustedes! Dice la verdad este verso y con toda razón: "Con estas destructoras nada; sin éstas nada, nada tampoco". Pues bien, por ahora hago las paces contigo. En adelante no les haré ningún mal, ni ustedes a mí. Vamos a reunirnos todos y entonemos a una nuestro canto.

Coro mixto

(*a los espectadores*). No nos dispongamos, hombres, a murmurar algo de ninguno de los ciudadanos, sino por lo contrario, a no decir ni hacer sino cosas buenas, pues nos bastan los males presentes. Y cualquiera, hombre o mujer, que diga si necesita dinero, tome dos o tres minas, ya que dentro las hay y tenemos bolsas.

Y si algún día vuelve a brillar la paz, cualquiera que ahora reciba el préstamo de parte nuestra, no devuelva jamás lo recibido. Hemos invitado a comer a unos huéspedes caristios,[219] buenos... y valientes varones. Hay un poco de puré de legumbre y un puerquito[220] que he matado. Así comerán ustedes algo tierno y exquisito. Vengan ya a mi casa, pero a buena hora, después del baño y con sus hijos. Entren

μηδ' ἐρέσθαι μηδένα,
ἀλλὰ χωρεῖν ἄντικρυς
ὥσπερ οἴκαδ' εἰς ἑαυτῶν
γεννικῶς, ὡς
ἡ θύρα κεκλείσεται.

Καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἷδι πρέσβεις ἕλκοντες ὑπήνας χωροῦσ', ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες.

Ἄνδρες Λάκωνες, πρῶτα μέν μοι χαίρετε,
εἶτ' εἴπαθ' ἡμῖν πῶς ἔχοντες ἥκετε.

ΛΑΚΩΝ

Τί δεῖ ποθ' ὑμὲ πολλὰ μυσίδδην ἔπη;
Ὀρῆν γὰρ ἔξεσθ' ὡς ἔχοντες ἵκομες.

ΧΟ. Βαβαί· νενεύρωται μέν ἦδε συμφορά
δεινῶς τεθερμῶσθαί τε χεῖρον φαίνεται.

ΛΑ. Ἄφατα. Τί κα λέγοι τις; Ἀλλ' ὅπα σέλει
παντᾷ τις ἑλσὼν ἁμὶν εἰράναν σέτω.

ΧΟ. Καὶ μὴν ὁρῶ καὶ τούσδε τοὺς αὐτόχθονας
ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων
θαἰμάτ' ἀποστέλλοντας· ὥστε φαίνεται
ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.

ΠΡΥ. Τίς ἂν φράσειε ποῦ 'στιν ἡ Λυσιστράτη;

1068 μηδένα B : μὴ δ' ἕνα R ‖ 1071 ὡς B : ἴσως δ' R ‖ 1072-1075 Choro contin. Enger : Χορ. γερ. RB ‖ 1072 οἰδὶ R : οἴδε BS ‖ 1073 ἔχοντες BS : ἔχοντας R ‖ 1076 δεῖ B : δή R ‖ ὑμὲ Ahrens : ὔμμε R ὕμμε B ‖ 1077 ἵκομες Elmsley ; cf. ἵκει in Ach. 820, sed εἴκομες in 750 Π : ἥκομεσθ (θ del.) R ἥκομεν B ‖ 1078 Χορ. Enger : om. R Χορ. γερ. B ‖ 1079 τεθερμῶσθαί τε (B, γε R) RB (θερμόω = θέρμω ut ψυχόω = ψύχω) : τε, θήρμῶσθαί τε (sec. van Leeuwen, τὸ δ' ἠρμῶσθαί γε sec. Meineke) Σ^R ‖ 1080 κα Ahrens : κἂν R καὶ B ‖ 1080-1081 ὅπα σέλει et ἑλσὼν $B\Sigma^R$: ὁπᾷ θέλει et ἑλθὼν R ‖ 1081 ἁμὶν Brunck : ἁμῖν R ἅμμιν B ‖ 1082 Χορ. Enger : Χορ. γερ. RB ‖ καὶ[2] R : om. S γε B ‖ 1083 ἄνδρας R : παῖδας B ; cf. Σ^R ‖ 1086-1188 Πρυ. Wilamowitz : Ἀθηναῖοι (1086, Ἀθ. 1090-1188) R.

sin preguntar a nadie. Lleguen directamente como a su casa, con valor;[221] después la puerta será cerrada.

El corifeo

Pero ahí vienen los embajadores de Esparta arrastrando sus largas barbas[222] y traen alrededor de las nalgas una cesta para criar[223] puerquitos (*entran*) ¡Salud, ante todo, espartanos! Y ahora dígannos en qué estado han llegado.

Espartano

¿Qué necesidad hay de largos discursos? Se puede ver en qué estado hemos llegado (*se quitan los cestos*).

El corifeo

¡Oh! El mal ha tomado una ex... tensión espantosa y parece que se inflama cada vez más.

Espartano

Indecible. Pero ¿para qué hablar? Que alguien venga a darnos la paz de cualquier modo y con las condiciones que quiera.

El corifeo

Veo que llega gente del país. Como los luchadores,[224] se apartan los mantos del vientre. Es claro que su enfermedad parece de atletas.

Pritáneo

¿Quién podrá decirnos dónde está Lisístrata? Porque

Ὡς ἄνδρες ἡμεῖς οὗτοι τοιουτοί.

ΧΟ. Χαὔτη ξυνᾴδει θἀτέρᾳ ταὐτῇ νόσος.
Ἦ που πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;

ΠΡΥ. Μὰ Δί' ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα.
Ὥστ' εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχύ,
οὐκ ἔσθ' ὅπως οὐ Κλεισθένη βινήσομεν.

ΧΟ. Εἰ σωφρονεῖτε, θαἰμάτια λήψεσθ', ὅπως
τῶν ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.

ΠΡΥ. Νὴ τὸν Δί' εὖ μέντοι λέγεις.

ΛΑ. Ναὶ τὼ σιὼ
παντᾶ γα. Φέρε τὸ ἔσθος ἀμβαλώμεθα.

ΠΡΥ. Ὦ χαίρεθ', οἱ Λάκωνες· αἰσχρά γ' ἐπάθομεν.

ΛΑ. Ὦ πολυχαρείδα, δεινά γ' αὖ πεπόνθαμες,
αἰκ εἶδον ἀμὲ τᾶνδρες ἀμπεφλασμένως.

ΠΡΥ. Ἄγε δή, Λάκωνες, αὖθ' ἕκαστα χρὴ λέγειν.
Ἐπὶ τί πάρεστε δεῦρο;

ΛΑ. Περὶ διαλλαγᾶν
πρέσβης.

ΠΡΥ. Καλῶς δὴ λέγετε· χἡμεῖς τουτογί.
Τί οὖ καλοῦμεν δῆτα τὴν Λυσιστράτην,
ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη;

1087 ἄνδρες Cobet : ἄνδρες RB || 1088 Χορ. Enger : Χορ. γερ. RB || θἀτέρᾳ Dobree : χἀτέρα (χὴ- B) RB || νόσος Reisig : νόσῳ RB || 1093 Χορ. Enger : Χορ. γερ. RB || θαἰμάτια Dawes : θοιμάτια (θοἰ -B) RB θοἰμάτιον S || 1096 παντᾶ Brunck : πάντα RB || γα Reisig : γε RB || ἀμβαλώμεθα Brunck : ἐμβαλώμεθα (-σθα R) RB || 1097 οἱ Bothe : ὦ RB || 1098-1236 desunt in B || 1098 Λακ. R : Οἱ Βοιωτοὶ πρὸς τοὺς Λάκωνας Σ^R ; cf. ad. 1242 || -χαρείδα Meineke : -χαρίδα R || 1099 αἰκ Wilamowitz: αἴ κ' R. Confirmatur αἰκ forma cum aliis locis (cf. G. Schulze in Berl. Phil. Woch. 10, 1890, col. 1502) tum Hom. Od. 6, 282, ubi editores aut falso scribunt εἰ καὐτή crasi ab Homero aliena aut vanas coniecturas tentant. || εἶδον ἀμὲ Brunck : ἴδον ἀμὲς R || τᾶνδρες Σ^R ; cf. ad Ach. 755 : ἄνδρες R || ἀμ- Meineke : ἀνα- R || -πεφλασμένως Σ^R : -πεφασμένως R || 1102 πρέσβης Blaydes : πρέσβεις R.

nosotros los hombres (se levantan los mantos), vean en qué estado nos hallamos.

EL CORIFEO

Esta enfermedad es idéntica a la otra. ¿No les llegan los espasmos por la mañana?

PRITÁNEO

Cierto, por Zeus. Cuando esto se inflama, nos agotamos. Si no nos reconciliamos pronto, no habrá más que cogernos a Clístenes.[225] 1090

EL CORIFEO

Si tienen juicio, pónganse sus mantos para que no los vaya a ver algún capador de Hermes.[226]

PRITÁNEO

Dices bien, ¡por Zeus!

ESPARTANO

Sí, por los Dióscuros, en absoluto.[227] Vistámonos. 1095

PRITÁNEO

¡Salud, espartanos! Es deshonroso lo que nos ha sucedido.

ESPARTANO

(*a uno de los suyos*). ¡Oh, querido! Es terrible que éstos nos hayan visto masturbándonos.[228]

PRITÁNEO

Vamos, espartanos, es necesario precisar cada punto. 1100
¿Por qué han venido aquí?

ESPARTANO

Como embajadores de la paz.

PRITÁNEO

Bien dicho. Nosotros también ¿Por qué no llamamos a Lisístrata que es la única que nos puede reconciliar?

ΛΑ. Ναὶ τὼ σιώ, καὶ λῆτε, τὸν Λυΐστρατον,
ΠΡΥ. Ἀλλ' οὐδὲν ἡμᾶς, ὡς ἔοικε, δεῖ καλεῖν·
αὐτὴ γάρ, ὡς ἤκουσεν, ἥδ' ἐξέρχεται.

ΧΟ. Χαῖρ', ὦ πασῶν ἀνδρειοτάτη· δεῖ δή νυνί σε γενέσθαι
δεινὴν(μαλακήν,) ἀγαθὴν φαύλην, σεμνὴν ἀγανήν, πολύπειρον·
ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι
συνεχώρησάν σοι καὶ κοινῇ τἀγκλήματα πάντ' ἐπέτρεψαν.

ΛΥ. Ἀλλ' οὐχὶ χαλεπὸν τοὔργον, εἴ λάβοι γέ τις
ὀργῶντας ἀλλήλων τε μὴ 'κπειρωμένους.
Τάχα δ' εἴσομαι 'γώ. Ποῦ 'στιν ἡ Διαλλαγή;
Πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικούς,
καὶ μὴ χαλεπῇ τῇ χειρὶ μηδ' αὐθαδικῇ,
μηδ' ὥσπερ ἡμῶν ἄνδρες ἀμαθῶς τοῦτ' ἔδρων,
ἀλλ' ὡς γυναῖκας εἰκός, εἰκείως πάνυ.
Ἧν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.
Ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε·
οὗ δ' ἂν διδῶσι, πρόσαγε τούτου λαβομένη.
Ἄνδρες Λάκωνες, στῆτε παρ' ἐμὲ πλησίον,
ἐνθένδε δ' ὑμεῖς, καὶ λόγων ἀκούσατε.
Ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι.
Αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω,
τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους
πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.
Λαβοῦσα δ' ὑμᾶς λοιδορῆσαι βούλομαι
κοινῇ δικαίως, οἵ μιᾶς ἐκ χέρνιδος
βωμοὺς περιρραίνοντες ὥσπερ ξυγγενεῖς

1105 καὶ λῆτε Ahrens : καλεῖτε R^1 κἂν λῆτε $R^2\Sigma^R$ || Αυΐ-Meister : Λυσί- R || 1106 Πρυ. Wilamowitz : Χορ. γερ. R || 1108 Χορ. Beer : par. R || 1109 ⟨μαλακήν,⟩ Wilamowitz : om. RS || 1111 κοινῇ S : κονῇ R || 1117 μηδ' Bekker : μήθ' R || 1121 διδῶσι Kuster : δίδωσι R || τούτου Dobree : τούτους R || 1123 δ' Bergk : τ' R || 1127 ἀκούσασ' S : ἀκούσας R || 1128 λοιδορῆσαι R : λοιδορεῖσθαι S || 1129 ἐκ Bentley : τε RS || χέρνιδος Iuntina (1515) : χερνίβος RS.

ESPARTANO

Sí, por los Dióscuros. Y si ustedes quieren, a un Lisístrato. [220]

PRITÁNEO

No tenemos ninguna necesidad de llamarla. Ella, en cuanto nos oyó, he aquí que viene.

CORO DE ANCIANOS

¡Salud, la más viril de todas! Es el momento de hacerte tremenda y suave, buena y malvada, altanera y amable, llena de experiencia. Porque los primeros entre los helenos, vencidos por tu fascinación, te ceden el puesto y de común acuerdo remiten todos sus agravios a lo que tú decidas.

LISÍSTRATA

Pues el asunto no es difícil si se les coge en plenos [230] ardores amorosos y no se satisfacen entre ellos mismos... Lo sabré pronto. ¿Dónde está Reconciliación? [231] (*baja una máquina con una bella muchacha desnuda, con los atributos de la paz en la mano*) Tráeme primero a los espartanos, no con mano dura y arrogante, ni bruscamente como hacían nuestros maridos, sino como conviene a las mujeres, con toda gentileza; el que no te dé la mano condúcelo de la verga (*Conciliación convence a los espartanos*). Y trae también a los atenienses, cogiéndolos por donde quieran (*hace lo mismo*). Espartanos, pónganse aquí a mi lado y ustedes (atenienses) del otro y escuchen mis palabras: "Soy mujer, es verdad, pero tengo juicio." [232] Yo misma no soy de mal discernimiento y por haber escuchado a menudo hablar a mi padre y a los ancianos, no estoy mal instruida... Quiero cogerlos en común y hacerles justos reproches: ustedes que con una ablución común asperjan los altares como en idéntica familia en Olimpia, [233] en las Ter-

Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ — πόσους
εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι; —
ἐχθρῶν παρόντων βαρβάρῳ στρατεύματι
Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε.
Εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.

ΠΡΥ. Ἐγὼ δ' ἀπόλλυμαί γ' ἀπεψωλημένος.

ΛΥ. Εἶτ', ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι,
οὐκ ἴσθ' ὅτ' ἐλθὼν δεῦρο Περικλείδας ποτὲ
ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο
ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι
στρατιὰν προσαιτῶν; Ἡ δὲ Μεσσήνη τότε
ὑμῖν ἐπέκειτο χὠ θεὸς σείων ἅμα,
Ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις
Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα.
Ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο
δηοῦτε χώραν, ἧς ὑπ' εὖ πεπόνθατε;

ΠΡΥ. Ἀδικοῦσιν οὗτοι νή Δί', ὦ Λυσιστράτη.

ΛΑ. Ἀδικίομες· ἀλλ' ὁ πρωκτὸς ἄφατον ὡς καλός.

ΛΥ. Ὑμᾶς δ' ἀφήσειν τοὺς Ἀθηναίους ⟨μ'⟩ οἴει;
Οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
κατωνάκας φοροῦντας ἐλθόντες δορὶ
πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν,
πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ ξυμμάχους,
καὶ ξυμμαχοῦντες τῇ τόθ' ἡμέρᾳ μόνοι
ἠλευθέρωσαν κἄντι τῆς κατωνάκης

1131 Ὀλυμπίασιν S : Ὀλυμπιᾶσιν R ‖ 1133 βαρβάρῳ Blaydes : βαρβάρων R ‖ 1138 -κλείδας R^a : -κλείδης R^t ‖ 1140 τοῖσι Bentley : τοῖς R ‖ 1143 -χιλίοις R^a : -χιλίους R^t ‖ 1146 πεπόνθατε ex πεπονθότες correcturus τες eraso et acuto supra o^e deleto corrigere oblitus est R ‖ 1148 ἀδικίομες Elmsley ad Ach. 729 : ἀδικιοῦμεσ' R ‖ ἄφατον ὡς Bentley : ἄφατος καὶ R ‖ 1149 ⟨μ'⟩ Voss : om. R ‖ 1151 ἐλθόντες S : ἐλθόντας R ‖ 1153 ἑταίρους S ; ἑτέρους R ‖ Ἱππίου Scaliger : Ἱππίους R Ἱππία S ; cf. ad Pac. 640 ‖ 1154 καὶ ξυμ- van Leeuwen : ξυνεκ- R ‖ 1155 ἠλευθέρωσαν Dindorf : κἀλευθέρωσαν R.

mópilas, en Delfos. (De cuántos otros lugares hablaría si quisiera extenderme), cuando sus enemigos, los bárbaros, están ahí con sus ejércitos, matan ustedes a los helenos y destruyen sus ciudades. Aquí termina mi primer punto.

PRITÁNEO

(*devorando con los ojos a Reconciliación*) Y yo, que muero desprepuciado.

LISÍSTRATA

Espartanos. ¿Por qué ahora me dirijo a ustedes? ¿No saben que en otra época vino aquí el espartano Periclides,[234] que se sentó en los altares como suplicante de los atenienses, pálido en su túnica escarlata, para pedir un ejército? Entonces Mesenia los acosaba y al mismo tiempo el dios quebrantaba su suelo. Cimón[235] partió con cuatro mil hoplitas y salvó a toda Esparta. Esto es lo que hacen por ustedes los atenienses y en cambio ustedes devastan el país del que recibieron beneficios.

PRITÁNEO

Por Zeus, Lisístrata, ellos son injustos.

ESPARTANO

(*en tono conciliador*). Fuimos injustos (*mira a Conciliación*). Pero su culo es infablemente bello.

LISÍSTRATA

¿Creen ustedes, atenienses, que yo quiero absolverlos? ¿No saben que los laconios, cuando ustedes llevaban la casaca de la esclavitud, vinieron con sus armas y mataron muchos tesalienses soldados partidarios[236] y aliados de Hipias, y que ellos solos combatieron con ustedes ese día, y en vez de la casaca de la esclavitud[237] hicieron que tomaran de nuevo el manto de lana?[238]

τὸν δῆμον ὑμῶν χλαῖναν ἡμπέσχον πάλιν;

ΛΑ. Οὔπα γυναῖκ' ὄπωπα χαιρωτέραν.

ΠΡΥ. Ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.

ΛΥ. Τί δῆθ' ὑπηργμένων γε πολλῶν κἀγαθῶν
μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας; 1160
Τί δ' οὐ διηλλάγητε; Φέρε, τί τοὐμποδών,

ΛΑ. Ἁμές γα λῶμες, αἴ τις ἁμὶν τἄγκυκλον
λῇ τοῦτ' ἀποδόμεν.

ΛΥ. Ποῖον, ὦ τᾶν;

ΛΑ. Τὰν Πύλον,
ταὔσπερ πάλαι δεόμεθα καὶ βλιμάδδομες.

ΠΡΥ. Μὰ τὸν Ποσειδῶ τοῦτο μέν γ' οὐ δράσετε. 1165

ΛΥ. Ἄφετ', ὦγάθ', αὐτοῖς.

ΠΡΥ. Κᾆτα τίνα κινήσομεν;

ΛΥ. Ἕτερόν γ' ἀπαιτεῖτ' ἀντὶ τούτου χωρίον.

ΠΡΥ. Τὸ δεῖνα τοίνυν, παράδοθ' ἡμῖν τουτονὶ
πρῶτιστα τὸν Ἐχινοῦντα καὶ τὴν Μηλιᾶ
κόλπον τὸν ὄπισθεν καὶ τὰ Μεγαρικὰ σκέλη. 1170

ΛΑ. Οὐ τἄ σιώ, οὐκὶ πάντα γ', ὦ λισσάνιε.

ΛΥ. Ἐᾶτε, μηδὲν διαφέρου περὶ σκελοῖν.

ΠΡΥ. Ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι.

ΛΑ. Ἐγὼν δὲ κοπραγωγῆν γα πρᾷ ναὶ τὼ σιώ.

ΛΥ. Ἐπὴν διαλλαγῆτε, ταῦτα δράσετε. 1175

1156 ἡμπέσχον Blaydes : ἤμπισχον R ‖ 1159 γε Voss : τε R ‖ 1162 ἁμές γα Koen ad Gregor. Cor. 115 : ἁμές γε R ‖ λῶμες Bentley : λῶ-μεσθ' R ‖ τις Iuntina (1515) : τῆς R ‖ ἁμὶν Brunck : ἁμὶν R ‖ τἄγκυκλον Meineke : τοὐγκυκλον RS ‖ 1163 ἀποδόμεν Brunck : ἀποδῶμεν R ‖ 1164 τᾶσ- (ἄσ- Bergler) Elmsley ad Ach. 441 : ὥσ- R ‖ δεόμεθα Elmsley : δεόμεσθα R ‖ βλιμάδδομες Brunck : βλιμάττομες R βλιμάττομεν S ‖ 1167 τούτου Fl. Chrestien : τοῦτου τον R ‖ χωρίον Bentley : χωρίου R ‖ 1171 οὐκὶ Pökel ; cf. ad Ach. 785 et 809 : οὐχὶ R ‖ πάντα γ' Brunck : πάντ' ἄ γε R ‖ λισσάνιε Phot. p. 226, 9 Isaek Vossius ad Hesych. s. λισσάνιος : λυσσάνιε RΣ^{RS} ‖ 1174 ἐγὼν Blaydes : ἐγὼ R ‖ πρᾷ Biset (-Port) ; cf. 1089 : πρῶτα R.

ESPARTANO

(*señalando a Lisístrata*) No he visto mujer más respetable.

PRITÁNEO

(*a Reconciliación*) Ni yo un culo más bello.

LISÍSTRATA

¿Por qué entonces ustedes que se han hecho mutuamente tantos beneficios, buscan ahora la guerra y no cesan en sus malos sentimientos? Vamos. ¿Qué los detiene? ¿Por qué no se reconcilian ya?

ESPARTANO

Nosotros nos queremos bien si alguien nos devuelve (*señalando el trasero de Reconciliación*) esto redondo.[239]

LISÍSTRATA

¿Cuál, amigo?

ESPARTANO

Esta Pilos,[240] que después de tanto tiempo pedimos y queremos tocar (*gesto expresivo*).

PRITÁNEO

Por Poseidón, eso no lo van a alcanzar.

LISÍSTRATA

Cédansela, amigos.

PRITÁNEO

Y después, ¿a quién manosearemos?

LISÍSTRATA

Reclamen otra cosa, en cambio.

PRITÁNEO

¡Una idea! Dennos Equinonte,[241] el golfo Maliaco que está atrás y las piernas de Megara.

ESPARTANO

No, por los Dióscuros, no todo eso amigo.

LISÍSTRATA

Dejen de discutir por un par de piernas.

PRITÁNEO

¡Ahora quiero, desnudo, labrar la tierra[242] (*se quita el manto*).

ESPARTANO

Y yo estercolar temprano, por los Dióscuros.

LISÍSTRATA

Una vez reconciliados podrán hacerlo. Si les parece

Ἀλλ' εἰ δοκεῖ δρᾶν ταῦτα, βουλεύσασθε καὶ
τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε.

ΠΡΥ. Ποίοισιν, ὦ τᾶν, ξυμμάχοις; Ἐστύκαμεν.
Οὐ ταὐτὰ δόξει τοῖσι συμμάχοισι νῷν,
βινεῖν, ἅπασιν;

ΛΑ. Τοῖσι γῶν ναὶ τὼ σιὼ
ἁμοῖσι.

ΠΡΥ. Καὶ γὰρ ναὶ μὰ Δία Καρυστίοις.

ΛΥ. Καλῶς λέγετε. Νῦν οὖν ὅπως ἀγνεύσετε,
ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει
ξενίσωμεν ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
Ὅρκους δ' ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε.
Κἄπειτα τὴν αὑτοῦ γυναῖχ' ὑμῶν λαβὼν
ἅπεισ' ἕκαστος.

ΠΡΥ. Ἀλλ' ἴωμεν ὡς τάχος.

ΛΑ. Ἄγ' ὅπα τυ λῇς.

ΠΡΥ. Νὴ τὸν Δί' ὡς τάχιστ' ἄγε.

ΧΟ. Στρωμάτων δὲ ποικίλων καὶ Ant. 1.
χλανιδίων καὶ ξυστίδων καὶ
χρυσίων, ὅσ' ἐστί μοι,
οὐ φθόνος ἔνεστί μοι πᾶσι παρέχειν φέρειν τοῖς
παισίν, ὁπόταν τε θυγάτηρ τινὶ κανηφορῇ.
Πᾶσιν ὑμῖν λέγω λαμβάνειν τῶν ἐμῶν
χρημάτων νῦν ἔνδοθεν, καὶ
μηδὲν οὕτως εὖ σεσημάν-
θαι τὸ μὴ οὐχὶ
τοὺς ῥύπους ἀνασπάσαι,
χἄττ' ⟨ἂν⟩ ἔνδον ᾖ φορεῖν.

1178 ἐστύκαμεν (ἐ-) Veneta (1538) : ἐστύκαμες R ‖ 1180 γῶν Ahrens : γοῦν R ‖ 1188 τάχιστ' ἄγε Beer : τάχιστά γε R ‖ 1189 Χορ. Enger : Χορ. ἀνδ. del. R Αυσ. R² ‖ 1190 ἐστί μοι Bothe : ἐστὶν ἐμοὶ R ‖ 1191 εστ ante ἔνεστί del. R ‖ 1192 πᾶσι Bentley : πᾶσιν R ‖ 1194 -φορῇ Bergler : -φορεῖ R ‖ 1199 χἄττ' ⟨ἂν⟩ Bothe : χ' ἄτ' R.

conveniente deliberen y vayan a discutir el asunto con sus aliados.

PRITÁNEO

¿Qué aliados dices, querida? Si la tenemos parada. ¿No querrán los aliados todos como nosotros mismos esto: coger?

ESPARTANO

Los nuestros, al menos, por los Dióscuros.

PRITÁNEO

Por Zeus, también los caristios.

LISÍSTRATA

Ciertamente. Ahora purifíquense para que nosotras las mujeres, los hospedemos en la Acrópolis[243] con todo lo que tenemos... en las cestas. Intercambien los juramentos y las promesas. Después cada quien recogerá a su mujer y se irá.

PRITÁNEO

Vámonos de prisa.

ESPARTANO

Llévanos a donde quieras (*entran en la Acrópolis*).

CORO DE MUJERES

Tapices bordados, mantos de lana,[244] túnicas y joyas de oro; todo lo que yo tengo lo ofrezco de buen grado a todos, para que lo lleven a sus hijos y a su hija, cuando sea Canéfora. A todos los invito, mientras tanto, a tomar de mi casa cuanto tengo. No hay nada bajo sello que no se pueda romper y llevarse el contenido. Pero ninguno verá nada aunque mire, a menos que alguno tenga una vista más penetrante que la mía.

Ὄψεται δ' οὐδὲν σκοπῶν, εἰ
μή τις ὑμῶν
ὀξύτερον ἐμοῦ βλέπει.
Εἰ δέ τῳ μὴ σῖτος ὑμῶν Ant. 2.
ἔστι, βόσκει δ' οἰκέτας καὶ
σμικρὰ πολλὰ παιδία,
ἔστι παρ' ἐμοῦ λαβεῖν πυρίδια λεπτὰ μέν, ὁ δ'
ἄρτος ἀπὸ χοίνικος ἰδεῖν μάλα νεανίας.
Ὅστις οὖν βούλεται τῶν πενήτων ἴτω
εἰς ἐμοῦ σάκους ἔχων καὶ
κωρύκους· ὡς λήψεται πυ-
ρούς. Ὁ Μανῆς δ'
οὑμὸς αὐτοῖς ἐμβαλεῖ.
Πρός γε μέντοι τὴν θύραν
προαγορεύω μὴ βαδίζειν
τὴν ἐμήν, ἀλλ'
εὐλαβεῖσθαι τὴν κύνα.

ΠΡΥ. Ἄνοιγε τὴν θύραν σύ. Παραχωρεῖν σ' ἔδει.
Ὑμεῖς, τί κάθησθε; Μῶν ἐγὼ τῇ λαμπάδι
ὑμᾶς κατακαύσω; Φορτικὸν τὸ χωρίον.
Οὐκ ἂν ποήσαιμ'. Εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,
ὑμῖν χαρίζεσθαι ταλαιπωρήσομεν.

ΑΘΗΝΑΙΟΣ
Χἡμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσομεν.

ΠΡΥ. Οὐκ ἄπιτε; Κωκύσεσθε τὰς τρίχας μακρά.
Οὐκ ἄπιθ', ὅπως ἂν οἱ Λάκωνες ἔνδοθεν

1212 οὑμὸς αὐτοῖς Bentley : αὐτοῖς ὁὑμὸς R ‖ 1214 προ- Port : προσ- R ‖ 1216 Πρυ. Wilamowitz : Θερ. RΣ^{R} ad 1239 ‖ σύ Bentley : οὐ R ‖ σ' ἔδει Kühler : θέλεις R ἔδει (ὑμεῖς in ὑμᾶς mutans) Dindorf (1869) ‖ 1220 ταλαιπωρήσομεν Fl. Chrestien : προσταλαιπωρήσαιμεν R ‖ 1221 Ἀθ. Wilamowitz : Χορ. R ‖ 1222 Πρυ. Wilamowitz : om. R.

Si alguno no tiene trigo y debe alimentar esclavos y muchos niños pequeños puede tomar harina fina; pero mi pan de un quénice[245] bien batido a primera vista, está recién hecho. Todo pobre que quiera, no tiene más que venir a mi casa con sacos y alforjas: recibirá grano. Manes,[246] mi esclavo, se lo servirá. Pero los prevengo de que no se acerquen a mí puerta y tengan cuidado con el perro.

PRITÁNEO

(*golpeando la puerta de la Acrópolis. A la corifeo*). Abre la puerta. ¿No quieres hacarte a un lado?[247] Y ustedes (*a las mujeres*) ¿por qué están sentadas ahí? ¿Quieren que las queme con mi antorcha? Sería algo demasiado grosero. No haré nada, pero si es absolutamente necesario lo sufriremos (*a los espectadores*) para complacerlos.

ATENIENSE

Y también nosotros, junto contigo.

PRITÁNEO

¿Quieren irse? O llorarán mucho sus cabellos (*acerca la antorcha. Las mujeres se van al coro de ancianos*). ¿Quieren largarse para que los espartanos salgan del interior tranquilamente, después de haberse banqueteado?

καθ' ἡσυχίαν ἀπίωσιν εὐωχημένοι;

ΑΘ. Οὔπω τοιοῦτον συμπόσιον ὅπωπ' ἐγώ.
Ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί·
ἡμεῖς δ' ἐν οἴνῳ συμπόται σοφώτατοι.

ΠΡΥ. Ὀρθῶς γ', ὅτιὴ νήφοντες οὐχ ὑγιαίνομεν.
Ἦν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων,
μεθυόντες ἀεὶ πανταχοῖ πρεσβεύσομεν.
Νῦν μὲν γὰρ ὅταν ἔλθωμεν εἰς Λακεδαίμονα
νήφοντες, εὐθὺς βλέπομεν ὅ τι ταράξομεν·
ὥσθ' ὅ τι μὲν ἂν λέγωσιν οὐκ ἀκούομεν,
ἃ δ' οὐ λέγουσι, ταῦθ' ὑπονενοήκαμεν,
ἀγγέλλομεν δ' οὐ ταὐτὰ τῶν αὐτῶν πέρι.
Νυνὶ δ' ἅπαντ' ἤρεσκεν· ὥστ' εἰ μέν γέ τις
ᾄδοι Τελαμῶνος, Κλειταγόρας ᾄδειν δέον,
ἐπηνέσαμεν ἂν καὶ πρὸς ἐπιωρκήσαμεν.
Ἀλλ' οὗτοιὶ γὰρ αὖθις ἔρχονται πάλιν
εἰς ταὐτόν. Οὐκ ἐρρήσετ', ὦ μαστιγίαι;

ΑΘ. Νὴ τὸν Δί'· ὡς ἤδη γε χωροῦσ' ἔνδοθεν.

ΛΑ. Ὦ πολυχαρείδα, λαβὲ τὰ φυᾶτήρια,
ἵν' ἐγὼν διποδιάξω τε κἀεῖῶ καλὸν
ἐς τὼς Ἀσαναίως τε χἄμ' ἄεισμ' ἀμᾶ.

ΠΡΥ. Λαβὲ δῆτα τὰς φυσαλλίδας πρὸς τῶν θεῶν·

1225-1226 Ἀθ. οὔπω... ἦ RΣ^{R} : Λα. οὔπω... Ἀθ. ἦ Wilamowitz || 1228 Πρυ. Wilamowitz : Χορ. R || ὅτιὴ Bentley : ὅτι R || 1230 πανταχοῖ Brunck : πανταχοῦ R || 1234 λέγουσι Brunck : λέγουσιν R || 1238 πρὸς ἐπι- Bothe : προσεπι- RB || 1241 Ἀθ. Wilamowitz : om. B Θερ. R || 1242 Λαχ. R^{1} : Ἀθ. R^{1} Λαμ. B πιθανώτερόν ἐστιν Βοιωτὸν αὐτὸν εἶναι Σ^{R} ; cf. Römer (*Abhdlg. d. philos.-philol. Cl. d. Bayer. Akad. d. Wiss.* 22, 1905, p. 647) || πολυ- R : πουλυ- B || -χαρείδα Meineke : -χαρίδα RB || φυᾶτήρια van Leeuwen : φυσατήρια RB || 1243 ἐγὼν Blaydes : ἐγὼ RBS || τε Bergk : γε RBS || κἀεῖῶ van Leeuwen : κἀίσω R κἀείσω S καὶ κινήσω B || 1244 τὼς Ἀσαναίως Port : τοὺς Ἀσαναίους RBS || χἄμ' ἄεισμ' Meineke : καὶ ἡμᾶς RS καὶ ἐς ἡμᾶς B || ἀμᾶ Bergk : ἅμα RBS || 1245 Πρυ. Wilamowitz : Ἀθ. R Ἀθηναῖοι B.

ATENIENSE

Jamás he visto un banquete como éste. Realmente los espartanos estaban agradabilísimos y nosotros muy juiciosos cuando bebimos.

PRITÁNEO

En verdad, porque sobrios no nos portamos bien. Si convenzo a los atenienses con mis palabras, siempre iremos borrachos a las embajadas. Ahora, cuando vamos a Esparta sin beber, pronto buscamos trastonarlo todo. No oímos lo que nos dicen y lo que no dicen sospechamos que lo dicen, de modo que nuestras relaciones de los hechos no las referimos del mismo modo. Pero esta vez todo nos agrada hasta el punto que si alguno cantaba el Telamión cuando debería cantar el Clitágoras, decíamos [248] que estaba bien, aun con falso juramento (*vuelve el tropel*). Pero aquí vienen de nuevo éstos al mismo lugar. ¿No quieren largarse los que merecen latigazos? *(se van de nuevo).*

ATENIENSE

Sí, por Zeus, ya salen del interior (*entran los dos coros de atenienses y espartanos con un flautista. Después salen las mujeres conducidas por Lisístrata*).

ESPARTANO

(*al flautista*) Toma tus flautas, mi muy querido. Yo danzaré la dispodia [249] y cantaré una bella canción para los atenienses y para nosotros mismos a la vez.

ὡς ἥδομαί γ' ὑμᾶς ὁρῶν ὀρχουμένους.

ΛΑ. Ὄρμαδν τῷ κυρσανίῳ, Μναμόνα,
τὰν τεὰν Μῶδν, ἄτις
οἶδεν ἁμὲ τώς τ' Ἀσαναί-
ως, ὅκα τοι μὲν ἐπ' Ἀρταμιτίῳ
πρώκροον συείκελοι
ποττὰ κᾶλα τῶς Μήδως τ' ἐνίκων·
ἁμὲ δ' αὖ Λεωνίδας
ἆγεν ἅπερ τὼς κάπρως σά-
γοντας, οἷῶ, τὸν ὀδόντα· πολὺς δ'
ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσεεν, πο-
λὺς δ' ἁμᾶ καττῶν σκελῶν ἵετο.
Ἦν γὰρ τᾶνδρες οὐκ ἐλάσσως
τᾶς ψάμμας τοὶ Πέρσαι.
Ἀγροτέρα σηροκτόνε, μόλε δεῦρο, παρσένε σιά,
ποττὰς σπονδάς,
ὃς συνέχῃς πολὺν ἁμὲ χρόνον. Νῦν δ'
αὖ φιλία τ' ἀὲς εὔπορος εἴη
ταῖσι συνθήκαισι, καὶ τᾶν αἱμυλᾶν ἀ-
λωπέκων παυαίμεθα.
Ὤ, δεῦρ' ἴθι, δεῦρο,
ὦ κυναγὲ παρσένε.

1246 ὑμᾶς ὁρῶν Bentley : υ (del.) ὁρῶν ὑμᾶς R ὑμᾶς B || 1247 Λαχ. R : Λαμ. B || 1248 τῷ κυρσανίῳ Voss ; cf. Σ^R τῷ ἐφήδῳ : τὼς κυρσανίως RB || Μναμόνα Wilamowitz : ὦ Μναμόνα R ὦ Μναμοσύνα B || 1249 τεὰν RΣ^R : τ' ἐμὰν B || 1250, 1254, 1265 ἁμὲ Ahrens : ἁμὲ R ἅμμε B || τώς τ' Ἀσαναίως Port : τοὺς τ' Ἀσαναίους RB || 1251 Ἀρταμιτίῳ R : Ἀρτεμισίῳ B || 1252 πρώκροον Ahrens : πρόκροον RB || συείκελοι Wilamowitz : θείκελοι RB σιείκελοι Σ^R || 1253 τὼς Μήδως Port : τοὺς Μήδους RB || 1255 ἆγεν Bergler : αγεν R ἄγεν B || 1256 σάγοντας Blaydes : θάγοντας RB || 1257 ἤνσεει Wilamowitz : ἤνσει RB || 1258 δ' B : τ' R || ἁμᾶ Bergk : ἅμα RB || 1259 καττῶν Reisig : καὶ κατὰ τῶν R καὶ κατῶν B || ἵετο Brunck : ἄφρος ἵετο RB || 1260 ἐλάσσω; B : ἐλασως R || 1262 ἀγροτέρα Dindorf : ἀγρότερ' Ἄρτεμι RB || 1263 σιά Σ^R ; σιᾶ R σεά B || 1266 τ' Schaefer ad Bion. XI, 1 : δ' RB || ἀὲς Burges : αἰὲς RB || 1268 ταῖσι συνθήκαισι Wilamowitz : ταῖσιν (ταῖς B) συνθήκαις RB || 1270-1271 παυσαίμεθα. | ὦ (-αῖ- van Leeuwen, ὦ Dindorf) **Thiersch** : παυσαίμεθ' ὦ RB || 1271-1272 δεῦρο, | ὦ Bergk : δεῦρ' ὦ RB.

PRITÁNEO

Por los dioses toma la doble flauta,[250] porque es un placer verte bailar.

ESPARTANO

Envía al joven cantor Mnemosina, tú, Musa que nos conoces a nosotros y a los atenienses; ellos en Artemisio,[251] como jabalíes, se lanzaron contra los barcos y vencieron a los medos. A nosotros, por nuestra parte, nos conducía Leónidas, como verracos en celo que avanzan, pienso, afilando sus colmillos. De nuestras mejillas escurría abundante espuma y abundante también de nuestras piernas, porque los guerreros persas no eran menos numerosos que los granos de la arena. ¡Oh, Cazadora de Bestias![252] Ven aquí, diosa virginal, a esta nuestra tregua, para que nos mantengamos unidos por siempre. Que en adelante reine una fecunda amistad por estos convenios y acabemos ya con las astutas zorras. ¡Ven aquí, aquí virgen cazadora!

ΠΡΥ. Ἄγε νυν ἐπειδὴ τἄλλα πεπόηται καλῶς,
ἀπάγεσθε ταύτας, ὦ Λάκωνες, τασδεδί
ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ
στήτω παρ' ἄνδρα, κᾆτ' ἐπ' ἀγαθαῖς ξυμφοραῖς
ὀρχησάμενοι θεοῖσιν εὐλαβώμεθα
τὸ λοιπὸν αὖθις μὴ 'ξαμαρτάνειν ἔτι.

ΧΟ. Πρόσαγε χορόν, ἔπαγε χάριτας,
ἐπὶ δὲ κάλεσον Ἄρτεμιν,
ἐπὶ δὲ δίδυμον ἀγέχορον Ἰήιον
εὔφρον', ἐπὶ δὲ Νύσιον,
ὃς μετὰ μαινάσιν ὄμμασι δαίεται,
Δία τε πυρὶ φλεγόμενον, ἐπὶ δὲ
πὸτνιαν ἅλοχον ὀλβίαν·
εἶτα δὲ δαίμονας, οἷς ἐπιμάρτυσι
χρησόμεθ' οὐκ ἐπιλήσμοσιν
ἡσυχίας πέρι τῆς ἀγανόφρονος,
ἣν ἐπόησε θεὰ Κύπρις.
Ἀλαλαί, ἰὴ παιών.
Αἴρεσθ' ἄνω, ἰαί,
ὡς ἐπὶ νίκῃ, ἰαί.
Εὐοῖ, εὐοῖ, εὐαῖ, εὐαῖ.

ΠΡΥ. Λάκων, πρόφαινε δή σὺ μοῦσαν ἔτι νέαν.

ΛΑ. Ταύγετον ἄὐτ' ἐραννὸν ἐκλιπῶά,
Μῶά μόλε, ⟨μόλε,⟩ Λάκαινα, πρεπτὸν ἁμὶν
κλεόωά τὸν Ἀμύκλαις σιὸν

1273 Πρυ. Wilamowitz : Αν. RB ‖ 1274 τασδεδί Dindorf : τὰς δέ τε R τασδεῖ B ‖ 1278 αὖθις B : αὖτις R ‖ 1279 Χορ. B : om. R ‖ 1281 ἀγέχορον Bergler : ἄγε χορὸν R ἄγετε χορὸν B ‖ 1284 μαινάσιν Thiersch : μαινάσι Βάκχειος (Βακχείοις B) RB ‖ 1285 ἐπὶ δὲ Thiersch : ἐπί τε R ἔπι δέ ἔπι δε B ‖ 1289 ἀγανόφρονος Reisig cl. Av. 1321 : μεγαλόφρονος RB ‖ 1291 ἀλαλαί RB : ἀλαλαλαί S ‖ παιών BS : παιήων R ‖ 1294 εὐαῖ bis Dindorf : εὐαι bis R εὐαί bis B ‖ 1295 Πρυ. Wilamowitz : om. RB ‖ ἔτι νέαν Willems : ἐπὶ νέα νέαν RΣ^{R} ἐπί νεανίαν B ‖ 1296 Λακ. Arnold : Χορ. Λακ. (Λακεδ. R) RB ‖ 1297 ⟨μόλε⟩ Hermann : om. RB ‖ 1298 ἁμὶν Brunck : ἁμὶν R ἁμῖν B ‖ 1299 κλεόωά Ahrens : κλεῶα RB ‖ σιὸν Valckenaer : Ἀπόλλω σιὸν (σιὸν B) RB.

PRITÁNEO

Vamos, ya que todo ha terminado tan bien, espartanos (*les señala a sus mujeres encabezadas por Lampito*), llévense a sus mujeres (*a los atenienses*). Y ustedes a las suyas. Que el esposo se coloque junto a la esposa y la esposa junto a su esposo. Después de haber festejado con danzas en honor de los dioses este glorioso éxito, guardémonos en el futuro de no caer en las mismas faltas.

CORO DE ATENIENSES

¡Haz avanzar al coro, trae a las Gracias[253] llama a Artemis, invoca a su hermano gemelo[254] Icio, guía de los coros, al benévolo Nisio,[255] Baco, cuyos ojos centellean entre las Ménades; invoca a Zeus[256] que arde con fuego y a su esposa[257] augusta y bienhechora. Después, a las divinidades que serán nuestros testigos, incapaces de olvidarse de esta serena paz, obra de la diosa Cipris.[258] ¡Alalai! ¡Ie! ¡Peán! ¡Salta a lo alto! ¡Iai! Como en una victoria ¡Iai! ¡Evoe! ¡Evae! ¡Evae! Espartano ¡muéstrame otra vez tu nueva Musa!

PRITÁNEO

Haz oír ahora un canto nuevo.

CORO

Deja tú ahora el amable Taigeto. Musa espartana. Celebra al venerable dios Amicleo[259] y a la reina Cal-

καὶ Χαλκίοικον ἄνασσαν,
Τυνδαρίδας τ' ἀγασώς,
τοὶ δὴ πὰρ Εὐρώταν ψιάδδοντι.
Εἶα μάλ' ἔμβη,
ὦ εἶα κοῦφα πάλον,
ὡς Σπάρταν ὑμνίωμες,
τᾷ σιῶν χοροὶ μέλοντι
καὶ ποδῶν κτύπος,
⟨ὅχ'⟩ ἅτε πῶλοι ταὶ κόραι
πὰρ τὸν Εὐρώταν
ἀμπαδίοντι, πυκνὰ ποδοῖν
ἀγκονίωαι,
ταὶ δὲ κόμαι σείονται
ἅπερ Βακχᾶν θυρσαδδώᾶν καὶ παιδδωᾶν.
Ἀγῆται δ' ἁ Λήδας παῖς
ἀγνὰ χοραγὸς εὐπρεπής.

Ἀλλ' ἄγε, κόμαν παραμπύκιδδε χερὶ ποδοῖν τε πάδη
ἃ τις ἔλαφος, κρότον δ' ἁμᾶ ποίᾳ χορωφελήταν,
καὶ τὰν κρατίσταν παμμάχον, τὰν Χαλκίοικον ὕμνη.

1300 ἄνασσαν v. l. Σ^R : Ἀσάναν RB ‖ 1302 πάρ Reisig : παρ' RB ‖ 1303 εἶα Scaliger : εἰα RB ‖ μάλ' Brunck : μάλα RB ‖ ἔμβη R : ἔμβα B ‖ 1304 ὦ εἶα Bergk : ὠῖα R εἶα, ὦ εἶα B ‖ πάλον Bergk : πάλλων RB ‖ 1305 ὡς B : ὠ R ‖ ὑμνίωμες Elmsley ad Ach. 729 : ὑμνείωμες RB ‖ 1306 μέλοντι B : μέλλοντι R ‖ 1308 ⟨ὅχ'⟩ Wilamowitz : om. RB ‖ ἅτε Brunck : αἵτε R ἅτε B ‖ ταὶR : δ' αἱ B ‖ 1310 ἀμπαδίοντι (-δῶντι Blaydes, -δέοντι Wilamowitz) Coulon : ἀμπάλλοντι RB (λείπει τὸ κτύπον) Σ^R ‖ 1311 ἀγκωνίωαι Reisig ; cf. ἀνακονοῦσαι (Coulon, -κινοῦσαι R) Σ^R : ἀγκονεύουσαι RB ‖ 1312 σείονται Thiersch : σείοντ' (-θ' B) RB ‖ ἅπερ Brunck : αἵπερ R ἅπερ B ‖ 1313 παιδδωᾶν BΣ^R : παδδοᾶν R ‖ 1314 ἀγῆται B : ἀγῆται R ‖ 1316 -πύκιδδε Σ^{R^2} : -πυκίδδετε RBΣ^{R^1} ‖ 1317 χερὶ B : χειρὶ R ‖ τε R : δὲ B ‖ πάδη R : πάδδη πάδδη B ‖ 1318 ἁμᾶ Hermann : ἅμα RB ‖ 1319 ποίᾳ B : ποῇ R ‖ χορωφελήταν Hermann : χωροφελέταν R χορωφελέταν B ‖ 1320 τὰν van Leeuwen : τὰν σιὰν δ' αὐτὰν RB (τὴν θεὸν Ἀθηνᾶν) Σ^R ‖ 1320-1321 κρατίσταν πάμμαχον, (Bergk, reponendum παμμάχον R) τὰν Χαλκίοικον ὕμνη (-η Burges) van Leeuwen : κρατίσταν χαλκίοικον ὕμνει τὰν παμμάχον (πρόμαχον B) RB.

cieco[260] del templo de bronce y a los gloriosos hijos de Tíndaro[261] que se divierten a lo largo del[262] Eurotas.[263] Vamos, adelántate más, saltando ligera para que celebremos a Esparta que ama los sagrados coros y el resonar de los pies cuando saltan como potrancas las doncellas a la orilla del Eurotas, levantando sus pies espeso polvo y agitando las cabelleras como bacantes que enarbolan el tirso y se divierten. La casta hija de[264] Leda es la corega de bella presencia.

¡Ea! Sujeta con una cinta[265] en tus manos la cabellera y salta con los dos pies como una cierva. Marca la cadencia que acompaña a la danza y canta a la poderosísima diosa guerrera[266] del templo de bronce.

NOTAS

[1] Es una orgía o bacanal, εἰς Βακχεῖον.

[2] ἐπί con dativo, raro en prosa, indica idea de reposo, fijeza, permanencia. En este caso el promontorio Colias, en la costa del Ática donde estaba el templo de Afrodita Colíade, diosa invocada por las heteras como patrona del amor sensual o físico. Γενετυλλίς la diosa menor que presidía la generación. Lo cita también en *Nub.* 5, *Tesm.* 130; Paus. I, I, 4: Luc. Amor. 42.

[3] Según el escoliasta se dice que unos bandidos apresaron a un joven ateniense y todos le ataron jarretes κωλῇ pero lo libertó la hija del cabecilla. Para recuerdo de este acto amoroso, el joven dedicó un templo a Venus Coliade (por los jarretes desatados).

[4] τύμπανον lo usa el autor en *Av.* 119 y Eur. en *Hel.* 1347; *Cíclope* 65, 205. También Her 4, 76. Instrumento de origen oriental usado en ritos orgiásticos.

[5] ἐνταυθοί adv. empleado por Hom. *Il.* 21, 122; *Od.* 18, 105 y por nuestro autor en *Ran.* 273.

[6] Sigo con el códice RΓBC Καλονίκη ΡΓ y no Κλέο de Wilamovitz. Los autores traducen indiscriminadamente uno u otro. Parece que el personaje se presta para el nombre.

[7] συτάττω es un verbo clásico empleado por Heródoto, Demóstenes, Platón, Esquilo, Plutarco. La preposición σύν aumenta la intensidad del simple ταράττω remover agitar. Por esto añade el adverbio "tan."

[8] El verbo σκυθρώπαζω está compuesto del adjetivo σκυθρός: sombrío triste, enojado y πάσχω sufrir. soportar, que emparienta con σκύζομαι irritarse, enojarse. Algunos traductores como Van Daele, Garibay, Gaseo Contell y otros, asimilan la raíz del verbo σκυθύζω de Σκύθης escita, vivir como un escita que emplean Hierón, Sinesio y Eurípides. En cambio Baráibar y Zumárraga, Rodríguez Adrados y los autores ingleses, italianos y norteamericanos, traducen correctamente afligir, estar inquieto, triste.

[9] ὁτιή porque, es una conjunción empleada por los cómicos Eupolis (*Cm. fr.* 2-551) y Aristófanes en *Caballeros* y *Nubes* ὁτιή τί, ὁτιητί, ὁτιήτί δή: ¿Por qué?

[10] πανοῦργοι industrioso, hábil, en Arist. *Et. Nic.* 6112 en su primera acepción. Es correcto traducir capaz de todo. Aristófanes usa la segunda acepción del adj. en el sentido de malignidad, fraude. *Ac* 311 ὦ πανοῦργε.

[11] ἀπαντάω en su tercera acepción significa llegar a, presentarse. Así lo usan también Eur. *Ion* 940 y Esquino 23, 31.

[12] Este comparativo absoluto προυργιαίτερα del adverbio προύργου usado en sentido de utilidad por Plat. 458c Dem. 412. 7; Isoc. 68; Tuc. 3, 109.

[13] El escoliasta dice que los términos μέγα y παχύ se refieren a lo "vergonzoso". En la edición de Van Daele se añade entre paréntesis (πάνυ) que es la corrección de Bamberg y Kubler. Hallamos καὶ νὴ Δί en *Cab.* 417, παχύ (πάνυ) en *Paz* 261 y en el 566. Νὴ Δί en *Pluto* 420. Νὴ Δία en las diversas expresiones νὴ Δία πάχυ es de ΡΓ: Νὴ τὸν Δία πάχυ καὶ νὴ Δία. ΡΓ que es el básico para mi traducción.

[14] Κᾆτα: crasis ática de καὶ y εἶτα.

[15] Con malicia le responde Lisístrata: "Porque no es ese el asunto de que se trata o en el que estás pensando (en el falo)."

[16] ἀνεζητημένον de ἀνά y ζετέω: en oposición a. El compuesto lo usan: Her. I, 137; Tuc. 8, 33; Plat. *Leyes* 693 a; Ap. 18 b; Dem. 1331, I.

[17] ἀγρυπνίαισι: insomnio, vigilia, en primera acepción. En sentido figurado: estar alerta, vigilar.

[18] Traduje como "delgado" este λεπτόν; literalmente es "delgado" en oposición a πάχυ grueso.

[19] ἔγγελυς lo usa en *Acar.* 889. Hom. *Il.* 21, 203, 353; Arist. *H. A.* 8, 2; Luc. *Anach.* I. Al llegar al 702 vemos la estimación en que tenían los atenienses a las anguilas del lago de Copais en Beocia. En el 702 dice que había invitado en el barrio a la compañera de sus hijos "una buena y amable anguila". En *Ac.* 880 habla Diceópolis "Oh tú que traes aquí el pez más sabroso de todos para los hombres, si tú las traes, déjame saludar a las anguilas" y en *Av.* 510, Filocleón... "lo que me agrada de ellos no son ni las rayas, ni las anguilas..." También en *Ac.* 1042 'Οπτᾶτε τάγχέλεια: asad las anguilas.

[20] La forma ξύν con ἔρχομαι es un aticismo, usado por Her. I, 152; Jen. *At.* 2, 2; Platón *Rep.* 329a.

[21] Adverbio usado por nuestro autor en *Nub.* 67 κοινῇ ξυνεβήμεν καθέμεθα Φειδιππίδην: nos pusimos de acuerdo para llamarlo Fidíppides. Plat. *Fil.* 62b y Jen. *Mem.* 16, 14: de común acuerdo. Se dirige no sólo a las beocias o peloponesias, sino a las espartanas y a todas las mujeres de Grecia, como lo dijo en 29-30 y en el 525 ἡμῖν εὐθὺς ἔδοξεν σῶσαι τὴν 'Ελλάδα κοινῇ παῖσι γύναιξιν συλλεχθείσαις: trabajar todas para salvar la Élide.

[22] φρόνιμος: sabia o prudentemente. En el uso de Jen. *Cir.* 3, 3, 57; por Plat. *Epin.* 974 a 98 opuesto a ἄλωγος. 'Εργασάιμεθα Según Clemente de Alejandría.

[23] El verbo ἐξανθίζω: lo usa el gramático Filemón del s.v. pintar de varios colores, y el novelista Heliodoro de Emeso en la *Antol.* y en Plut. 661f.

[24] κροκωτοφορέω: llevar una túnica azafranada o amarilla; καλλωπίζω: embellecer. En Plat. *Crat.* 408 b. En el sentido de gloriarse con y dat. Plat. *Rep.* 405b.

κιμβερικός: vestido a la moda cimeria. Palabra de origen desconocido.

25 ὀρθοστάδιον: túnica larga sin cintura "que se sostiene recta" o que cae a plomo. Palabra empleada también por Dion Cas. 63, 17, 22.

26 περιβάριδες: elegantes zapatos de mujer. El término lo usa el cómico Teopompo. contemporáneo de nuestro autor y del que sólo conservamos fragmentos. También otro cómico Cefisodoro (sólo fragmentos). Cantarella traduce escarpines de punta realzada. χἤγχουσα: ancusa o lengua de buey, planta borraginácea de raíz roja que servía para afeite. Lo usa en *Asam.* 929. Con crasis ἡ ἄγχουσα: (Bailly) por la aspiración ἡ ἔγχουσα *Asam.* 929.

27 μηδένα y Meineke μηδενα ΡΓ: nadie, ninguno.

28 Las mujeres juraban por Deméter y Core.

29 μελε, ὦ μέλε (etim. desconocida): mi buena amiga. Ar. en *Nub.* 33: mi buen amigo; *Av.* 1400 ὦ μέλε querido mío. Plat. en *Thet.* 178. También lo usan los escritos eclesiásticos.

30 Παράλων: de los paralienses, pueblo del litoral en Melos. Muy usual entre los clásicos.

31 κέλης: caballo de silla y también pequeño barco. διαβαίνω: significa "atravesar" o "abrir las piernas". Es una frase de doble sentido con alusión al acto sexual. El Códice R dice ὄρθριαι: que sube en línea recta.

32 Los versos del 62 al 131 faltan en el Códice BC.

33 Ἀχαρνέων originario del pueblo de Acarnes, municipio del Ática, a ocho kilómetros al N. de Atenas. Habían sufrido mucho los habitantes por la guerra; por eso eran las "primeras" en llegar para buscar la paz.

34 Teógenes era un hombre rico y supersticioso. Para todo consultaba a una estatua de Hécate, diosa patrona de los hombres de la buena suerte. Su mujer seguía sus prácticas. Por eso Baráibar traduce: "pues la mujer de Teógenes, sin duda, pensando acudir, consultó ayer la estatua".

35 ἀκάτειος, pequeña vela; ἀκάτιον: barca, vela auxiliar oblicua olatina para dar al barco toda la velocidad y en la tercera acepción: copa alargada en forma de barca. En el códice R vemos τἀκάτιον Van Leeuwen ΡΣ" θουκάτειον Σ ρ25.

36 Anagiro es una aldea ática con un pantano del mismo nombre. Anagiro es también una planta fétida. Olía mal si revolvían esas aguas cenagosas. Era proverbial decir que "las mujeres de Anagiro olían mal".

37 ἤδί Ar. usa la forma ática ἥδε en *Ran.* 527.

38 σφριγῶ (sólo tiene presente). Lo usa el actor en *Nub.* 799 unido a εὐσωματεῖν: estar bien, de buen cuerpo, robusto. Eur. *And.* 196; Ar. *Nub.* 799, hablando de animales.

39 ἄγχω: estrangular. Es muy clásico. Lo emplea Hom. en *Il.* 3, 371 y Ar. *Ran.* 468; ἐξελάσας τὸν Κέρβον ἀπῆξης ἄγχων: persiguiendo a (nuestro perro) Cerbero, apretándole el cuello. En *Av.* 1037 . οἱ τοὺς πατέρας τ'ἦγχον: estrangulaban a los padres. En *Cab.* τοὺς δ'ἄγχον: sofocándolos.

40 El dual τὼ σιὼ, forma lacónica de θεός. Los Dióscuros Cástor y Pólux eran venerados especialmente en Esparta.

41 Lampito era la esposa de Arquidamo. Hubo cinco reyes espartanos con ese nombre. A la guerra del Peloponeso la llamaban Arquidámica. La danza *Bibasis* eran ejercicios gimnásticos de los espartanos.

42 A las víctimas de los sacrificios se les palpaba para ver su gordura, pues sólo se sacrificaban víctimas perfectas. Ver *Cab.* 1139.

43 πεδίον se refiere en doble sentido al campo y al órgano femenino. La Beocia poseía fértiles campiñas. En *Av.* 506 tenemos πεδίοις ἐθέριζον: cosechaban en la campaña.

